**ΑΠΟΛΛΩΝ**

Πῶς τοῦτο ἐφράσω;

ὁμοίους γὰρ αὐτοὺς ἡγησάμην.

**ΕΡΜΗΣ**

οὗτος μέν, ὦ Ἄπολλον,

ἔχει ἐπὶ τοῦ προσώπου τὰ σημεῖα τῶν τραυμάτων

(ταῦτα πυκτεύων ἐδέξατο),

ἐκεῖνος δὲ καθαρός ἐστι τὸ πρόσωπον.

**ΑΠΟΛΛΩΝ**

τὰ δ΄ ἄλλα πάντα ἴσα ἐστίν,

ὥστε ἡμεῖς ἄλλον μὲν ἡγησάμεθα Κάστορα

Πολυδεύκην ὄντα,

ἄλλον δὲ Πολυδεύκην

Κάστορα ὄντα.

**ΑΠΟΛΛΩΝ (ff)**

ἀλλὰ λέγε ἡμῖν καὶ τόδε·

τί οὔποτε

ἡμᾶς κατὰ-μέρος ἀπολείποντες ἐπαύσαντο;

**ΕΡΜΗΣ**

ὑπὸ φιλαδελφίας τοῦτο ἐπράξαντο·

ἐπεὶ γὰρ ἔδει

τὸν μὲν τῶν Λήδας υἱῶν ἀποθνῄσκειν,

τὸν δὲ μή,

ἐμερίσαντο οὕτως αὐτοὶ τὴν ἀθανασίαν.

Die Dioskuren verbingen immer im Wechsel **je einen Tag** im Olymp und in der Unterwelt.

**ΑΠΟΛΛΩΝ**

ἀλλὰ τίς ΤΕΧΝΗ αὐτοῖς;

ἐγὼ γὰρ δεινός εἰμι τὴν τοῦ μαντεύεσθαι τέχνην.

καὶ εἰ ὑμεῖς οὐκ ἐδέξασθέ τινα τέχνην

ἢ θεοῖς ἢ ἀνθρώποις χρησίμην,

οἱ ἄνθρωποι οὐκ ἂν ἐνόμισαν ὑμᾶς θεούς.

τί οὖν οὗτοι

ἅτε θεοὶ ὄντες

ἐργάσασθαι ηὔξαντο;

**ΕΡΜΗΣ**

ὁ οὖν πατὴρ ἐκέλευσεν

αὐτοὺς σῴζειν ἐν θαλάττῃ ἀνθρώπους

μεγάλῃ ἐν ἀπορίᾳ εὐξαμένους.

Die Dioskuren gelten als Nothelfer, besonders bei Seenot.